## ΕΠΙΣΤΟΛΗ ϛ′ (ΙΓ′)

**1. a.** Μόλις ποτὲ ἀνεπνεύσαμεν εἰς τὴν Κουκουσὸν ἀφικόμενοι ὅθεν καὶ ἐπιστέλλομεν· μόλις ποτὲ διεβλέψαμεν ἀπὸ τοῦ καπνοῦ καὶ τῆς ποικίλης τῶν κακῶν νεφέλης τῶν κατὰ τὴν ὁδὸν ἡμᾶς καταλαβόντων. Νῦν γὰρ ἐπειδὴ παρῆλθε τὰ ὀδυνηρά, διηγοῦμαι αὐτὰ τῇ εὐλαβείᾳ σου. Ὅτε γὰρ ἐν αὐτοῖς ἦμεν, οὐκ ἠβουλόμην τοῦτο ποιῆσαι, μὴ σφόδρα σε λυπήσω. Τριάκοντα γὰρ σχεδὸν ἢ καὶ πλείους ἡμέρας πυρετοῖς χαλεπωτάτοις διετέλεσα παλαίων καὶ οὕτω τὴν μακρὰν ταύτην καὶ χαλεπὴν ὁδεύων ὁδὸν καὶ ἑτέραις χαλεπωτάταις ἀρρωστίαις πολιορκούμενος ταῖς ἀπὸ τοῦ στομάχου. Λόγισαι τὰ ἐντεῦθεν, οὐκ ἰατρῶν ὄντων, οὐ βαλανείων, οὐκ ἐπιτηδείων, οὐ τῆς ἄλλης ἀνέσεως, ἰσαυρικοῦ φόβου πανταχόθεν ἡμᾶς πολιορκοῦντος, τῶν ἄλλων κακῶν ἅπερ ἡ δυσκολία τῶν ὁδῶν τίκτειν εἴωθε, φροντίδος, μερίμνης, ἐρημίας τῶν θεραπευσόντων. Ἀλλὰ νῦν ἅπαντα ταῦτα λέλυται.

**b.** Εἰς γὰρ τὴν Κουκουσὸν ἐλθόντες, τήν τε ἀρρωστίαν ἅπασαν ἀπεθέμεθα μετὰ τῶν λειψάνων, καί ἐσμεν ἐν ὑγιείᾳ καθαρωτάτῃ, τοῦ τε φόβου τῶν ἰσαύρων ἀπηλλάγημεν, πολλῶν ἐνταῦθα στρατιωτῶν ὄντων, καὶ σφόδρα πρὸς αὐτοὺς παρατεταγμένων· τῶν τε ἐπιτηδείων ἡ ἀφθονία πάντοθεν ἡμῖν ἐπιρρεῖ, πάντων μετὰ πάσης εὐνοίας ἡμᾶς ὑποδεχομένων,

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417080204/21 UNIVERSITÄT LEIPZIG